ὑπὸ ἁπάντων θρυλλούμενον, παρεπιδημία τίς ἐστιν ὁ βίος, καὶ ὅτι
δεῖ ἐπιεικῶς διαγαγόντας εὐθύμως μονονουχὶ παιονίζοντας, εἰς
τὸ χρεὼν ἀπιέναι; Τὸ δὲ οὕτω μαλακῶς καὶ δυσαποσπάστως 4
ἔχειν νηπίου δίκην, οὐ περιφρονούσαν ἡλικίαν ἔχει. — Αξ. Ἀλη-
θῆ ταῦτα, ὦ Σώκρατες, καὶ ὀρθῶς μοι φαίνῃ λέγων· ἀλλ' οὐκ
οἶδ' ὅπως παρ' αὐτό μοι τὸ δεινὸν γενομένῳ, οἱ μὲν καρτεροὶ καὶ
περιττοὶ λόγοι ὑπεκπνέουσι λεληθότως, καὶ ἀτιμάζονται, ἀντί-
σχει δὲ δέος τι, ποικίλως περιαμύττον τὸν νοῦν, εἰ στερήσομαι
τοῦδε τοῦ φωτός, καὶ τῶν ἀγαθῶν, ἀειδὴς δὲ καὶ ἄπυστος ὁποίποτε
κείσομαι σηπόμενος, εἰς εὐλὰς καὶ κνώδαλα μεταβάλλων.

δ΄. Σωκ. Συνάπτεις γάρ, ὦ Ἀξίοχε, παρὰ τὴν ἀνεπιστασίαν,
ἀνεπιλογίστως τῇ ἀναισθησίᾳ αἴσθησιν, καὶ σεαυτῷ ὑπεναντία,
καὶ ποιεῖς, καὶ λέγεις, οὐκ ἐπιλογιζόμενος, ὅτι ἅμα μὲν ὀδύρῃ
τὴν ἀναισθησίαν, ἅμα δὲ ἀλγεῖς ἐπὶ σήψεσι καὶ στερήσει τῶν
ἡδέων· ὥσπερ εἰς ἕτερον ζῆν ἀποθανούμενος, ἀλλ' οὐκ εἰς παν-
τελῆ μεταβάλλων ἀναισθησίαν, καὶ τὴν αὐτὴν τῇ πρὸ τῆς γενέ-
σεως. Ὡς οὖν, ἐπὶ τῆς Δράκοντος, ἢ Κλεισθένους, πολιτείας, 2
οὐδὲν περὶ σὲ κακὸν ἦν· ἀρχὴν γὰρ οὐκ ἦς, περὶ ὃν ἂν ἦν· οὕτως
οὐδὲ μετὰ τὴν τελευτὴν γενήσεται· σὺ γὰρ οὐκ ἔσῃ περὶ ὃν ἔσται.

ε΄. Πάντα τοιγαροῦν τὸν τοιόνδε φλύαρον ἀποσκέδασαι, τοῦτο
ἐννοήσας, ὅτι, τῆς συγκρίσεως ἅπαξ διαλυθείσης, καὶ τῆς ψυ-

---

— Ὅτι) Διασαφητικὸς ὁ Ὅτι· τὸ Ἐπιλογιῇ τὴν φ. ἔσχεν ἀναπτύσσων.

— Τὸ κοινὸν δὴ τοῦτ.) Ὃ δὴ ἐστι κοινὸν καὶ θρυλλούμενον ὑπὸ πάντων.

— Παιονίζοντας) Ἄδοντας μετ' εὐφροσύνης δηλ. Παιὰν δὲ εἶδος ᾠδῆς. δύο δὲ Παιᾶνας ᾖδον οἱ παλαιοὶ πρὸ μὲν τοῦ πολέμου τῷ Ἄρει, μετὰ δὲ τὸν πόλεμον τῷ Ἀπόλλωνι· τὸν μὲν ἐπικαλούμενοι εἰς βοήθειαν, τῷ δὲ εὐχαριστοῦντες.

4. Οὐ περιφρ. ἡλικ. ἔχ.) Οὐκ ἔστιν ἴδιον ἡλικίας περιφρονούσης. Ὅπερ ἐστίν. Οὐκ ἔστιν ἴδιον σοῦ, ἔχοντος ἡλικίαν, ἥτις περιφρονεῖ τὸν θάνατον.

— Ἀληθῆ ταῦτ.) Ἐλλείπει, εἰσί.

— Παρ' αὐτό μοι) Ἡ δοτικὴ παθητικῶς λαμβάνεται πρὸς τὸ ἀτιμάζονται· οὐ μὴν ἀλλὰ καὶ πρὸς τὸ ἀντίσχει· τὸ γὰρ ἀντέχω τὸ ἀνθίσταμαι καὶ ἐναντιοῦμαι σημαῖνον, καὶ πρὸς δοτικὴν φέρεται. Σὺ δ' εἰ βούλει ἀπόδος αὐτὸ καὶ πρὸς τὸ Ὑποκνέουσι προθετικῶς τῇ Ὑπὸ δηλ. κατὰ πάντα γὰρ ἡ σύνταξις ἔῤῥωται καὶ ὁ νοῦς οὐ παραβλάπτεται.

6. Καὶ τῶν ἀγαθ.) Τῶν ἐν τῷ βίῳ δηλ.

δ΄. Παρὰ τὴν ἀνέπιστ.) Διὰ τὸ μὴ ἐφιστάνει τὸν νοῦν· διὰ τὸ μὴ ἔχειν ἐπιστήμην.

— Ὥσπερ εἰς ἕτερον ζῆν) Ὥσπερ ἀποθανούμενος, μεταβάλλων τοῦτο τὸ ζῆν εἰς ἄλλο· ἔνθα ἕξεις αἴσθησιν σηπόμενος, καὶ εἰς σκώληκας καὶ ἔντομα μεταβάλλων.

— Τῇ πρὸ τῆς γεν.) Ἀναισθησίᾳ δηλ.

2. Ἐπὶ τῆς Δράκ. ἢ Κλεισθ. πολιτ.) Δράκων τὴν Δημοκρατίαν ἐν Ἀθήναις κατέστησε, θεὶς νόμους, οὓς Δημάδης αἵματι οὐ μέλανι γεγραμμένους ἔλεγε· καὶ οὓς Σόλων καθεῖλε σκληροὺς ὄντας, καὶ ἄλλους ἀντεισήγαγε φιλανθρώπους καὶ δημοκρατικούς. Κλεισθένης δὲ πρῶτος εὗρε τὸν ἐξοστρακισμόν, δι' οὗ ἐφυγάδευον τοὺς δύναμιν κτησαμένους, φόβῳ τυραννίδος. Τῶν γὰρ Σόλωνος νόμων ὑπὸ τῶν Πεισιστρατιδῶν ἀκυρωθέντων, τῷ νόμῳ τῷ ὑπὸ Κλεισθένους, ἀπήλασε τοὺς τυράννους τῶν Ἀθηνῶν.

— Ἀρχὴν γὰρ) Οὐ γὰρ ὑπῆρχες κατὰ τὴν ἀρχήν· ὅτε δηλ. ἦσαν ἐκεῖνοι οἱ νόμοι Δράκοντος καὶ Κλεισθένους· μηδ' ὑπάρχες σύ, περὶ ὃν ἂν ᾖν τι κακόν.

— Γενήσεται.) Τί κακὸν δηλ. περὶ σέ.

ε΄. Τῆς συγκρίσεως) Τῆς συμπλέξεως, τῆς ἑνώσεως τῆς ψυχῆς μετὰ τοῦ σώματος.